ἀκριβείᾳ παρήμειβεν, ἐπιψηφιστὴς ὕστερον τῶν δοκιμαζομένων ἀξιούμενός τε καὶ φυλαττόμενος. Ἤδη δὲ τὸν εἰκοστὸν ἕκτον τῆς ἡλικίας αὐτῷ χρόνον διερχόμενος, πάντα μεγαλοψύχως καὶ ἐλευθερίως τοῖς πτωχοῖς διανείμας, τὸν ὃν ἐκ βρέφους ἐπόθει χρηστὸν ὑπῆλθε τοῦ Κυρίου ζυγὸν καὶ τὸ ἐλαφρὸν τοῦ Κυρίου φορτίον καὶ τὴν ἐρημίαν τὴν φίλην Ἠλίᾳ καὶ Ἰωάννῃ καὶ τοῖς κατ' ἐκείνους ἠσπάσατο, τὴν ἡσυχίαν μητέρα καὶ τῆς ἔνδον γαλήνης καὶ εἰρήνης καὶ ἠρεμίας καὶ τῆς πρὸς θεὸν ἀναβάσεώς τε καὶ οἰκειώσεως, τὰς πρὸ τῆς πατρίδος ἐκλεξάμενος νήσους συχνοῖς κεκοσμημένας τῷ τότε θεοφόροις ἀνδράσι, καὶ τὸν κρείττω τῶν ἄλλων πνευματικὸν πατέρα προείλετο τὸν θαυμάσιον ἐκεῖνον Συμεώνην, παρ'οὗ κατὰ μοναχοὺς εὐθὺς ἀπεκάρη καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας καὶ πόνους ὑπηλείφετο, πένθος ἀπαραμύθητον καταλελοιπὼς προσγενέσιν, οἰκείοις, φίλοις, βασιλεῖ ποθοῦντι καὶ δεομένῳ τῆς ἐκείνου σοφίας καὶ ἐπιστήμης, μεγιστᾶσι τοῖς τοῦ κλήρου, νέων σμήνεσι τοῖς παρ' ἐκείνου παιδευομένοις, πᾶσιν ἁπλῶς τοῖς ἐν τῇ πατρίδι, οἷς ἅπασι κοινή τις ὀρφανία σαφῶς ἐνομίσθη ἡ αὐτοῦ βίου ἐκείνου ἀναχώρησις καὶ ἡ τῶν πᾶσι κοινῇ προκειμένων τοῦ μεγάλου καλῶν στέρησις. Συνέργῳ δ' ἐχρῆτο πρὸς τὸν θεῖον τοῦτον σκοπὸν καὶ συνερίθῳ Δωροθέῳ ἀνδρί τινι σεμνῷ καὶ σπουδαίῳ καὶ λόγων παιδείᾳ καὶ ἠθῶν εὐγενείᾳ κεκοσμημένῳ, υἱῷ τοῦ ἐν μεγίστοις ἐκκλησίας μεγάλου σακελλαρίου τοῦ Βαλσαμών, πάλαι τε ἐκ παιδὸς τῷ μεγάλῳ προσῳκειωμένῳ, φίλῳ τε ἑταίρῳ καὶ ἥλικι καὶ τῶν αὐτοῦ μαθημάτων κεκοινωνηκότι καὶ λόγους βεβαίους δόντι τε καὶ λαβόντι, ὡς ἄμφω πάσαις ἀνάγκαις σὺν θεῷ γένοιντο κατὰ μοναχούς· ὃ δὴ καὶ γέγονε μετ'οὐ πολύ· ἐκεῖνον μὲν γὰρ τηνικαῦτα Ἱεροσόλυμα εἶχε καὶ τὸ ἱερὸν ὄρος τοῦ Σινᾶ, καλῶς τὸν οἰκεῖον ἐκεῖσε συμπεπληρωκότα σκοπόν, εἶτα μετὰ μικρὸν ἐπανελθόντα καὶ τῷ δηλωθέντι Συμεώνῃ προσελθόντα καθ'ὑποταγήν, τὸν δ'ἀρτίως ἡ τοῦ Ἀντιγόνου νῆσος ὑπὸ τῷ αὐτοῦ πατρὶ καὶ καθηγεμόνι.

Ἀλλὰ γὰρ ὡς οὐκ ἐπὶ πολὺ διαμένειν ἔμελλε τὸ ἱερὸν ἐπ' ἐρημίας καὶ ἡσυχίας ἐκεῖνο σύστημα, ἀλλὰ πρὶν ἢ διπλοῦν ἔτος παραδραμεῖν ἡ τότε ἀλογία καὶ ἀβουλία τὰ κοινὰ συνέχεε καὶ συνετάραξε πράγματα, καὶ τὸ ἀραβικὸν νέον θηρίον, ὁ τῶν Ἰσμαηλιτῶν ἤδη μόνος σατράπης ὑπολειφθείς, σὺν ἀμέτρῳ πλήθει τῇ μεγάλῃ πόλει παρεστρατοπέδευσε καὶ τοῖς ἐν ταῖς νήσοις ὁ κίνδυνος προὖπτος ἦν, ἐπάνεισι μὲν ὁ θαυμάσιος ἐκ τῆς ἐρημίας μετὰ τοῦ πατρὸς καὶ καθηγεμόνος καὶ τῇ ἱερᾷ καὶ περιωνύμῳ τῶν Μαγκάνων μονῇ, ἅτε παραμεμιγμένῃ μᾶλλον τῶν ἄλλων καί τισιν ἐρημικοῖς τοῖς αὐτῷ φίλοις προὔλετο διατρίβειν. Αὐτόσε τοίνυν ἄκρᾳ σκληραγωγίᾳ καὶ νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ παννύχῳ στάσει ἑαυτὸν ἐπιδούς, καὶ μάλισθ' ὅτε καὶ μόνος ὑπελείφθη, συχνῶς ἐπιλέγων· « οὐδενὶ τῶν ἁπάντων οὕτως ὡς κακοπαθείᾳ θεὸς θεραπεύεται », καὶ τὴν πρὸς

9. κεκοσμένας A.
27. ὑποταγὴν ex ὑποβολὴν corr. A.
39. Cf. Greg. Naz. Orat. 14, n. 5 — Patr. Gr. t. 35, p. 864.